στην δ' ἀπέδειξαν τὴν ἑαυτῶν πατρίδα, ἑβδομήκοντα [Isocr. IV 106
μὲν ἔτη τῆς θαλάττης ἄρξαντες, ἀστασιάστους δὲ παρα-
σχόντες τοὺς συμμάχους, οὐ τοῖς ὀλίγοις τοὺς πολλοὺς 56
δουλεύειν ἀξιώσαντες, ἀλλὰ τὸ ἴσον ἔχειν ἅπαντας ἀναγ-
κάσαντες, οὐδὲ τοὺς συμμάχους ἀσθενεῖς ποιοῦντες, ἀλλὰ
κἀκείνους ἰσχυροὺς καθιστάντες, καὶ τὴν αὑτῶν δύνα-
μιν τοσαύτην ἐπιδείξαντες, ὥσθ' ὁ μέγας βασιλεὺς οὐκέτι
τῶν ἀλλοτρίων ἐπεθύμει, ἀλλ' ἐδίδου τῶν ἑαυτοῦ καὶ περὶ
τῶν λοιπῶν ἐφοβεῖτο, καὶ οὔτε τριήρεις ἐν ἐκείνῳ τῷ 57
χρόνῳ ἐκ τῆς Ἀσίας ἔπλευσαν, οὔτε τύραννος ἐν τοῖς
Ἕλλησι κατέστη, οὔτε Ἑλληνὶς πόλις ὑπὸ τῶν βαρβάρων
ἠνδραποδίσθη· | τοσαύτην σωφροσύνην καὶ δέος ἡ τού-
των ἀρετὴ πᾶσιν ἀνθρώποις παρεῖχεν. ὧν ἕνεκα δεῖ
μόνους καὶ προστάτας τῶν Ἑλλήνων καὶ ἡγεμόνας τῶν
πόλεων γίγνεσθαι.

Ἐπέδειξαν δὲ καὶ ἐν ταῖς δυστυχίαις τὴν ἑαυτῶν ἀρε- 58
τήν. ἀπολομένων γὰρ τῶν νεῶν ἐν Ἑλλησπόντῳ εἴτε
ἡγεμόνος κακίᾳ εἴτε θεῶν διανοίᾳ, καὶ συμφορᾶς ἐκεί-
νης μεγίστης γενομένης καὶ ἡμῖν τοῖς δυστυχήσασι καὶ
τοῖς ἄλλοις Ἕλλησιν, ἐδήλωσεν οὐ πολλῷ χρόνῳ ὕστε-
ρον ὅτι ἡ τῆς πόλεως δύναμις τῆς Ἑλλάδος ἦν σωτηρία.
ἑτέρων γὰρ ἡγεμόνων γενομένων ἐνίκησαν μὲν ναυμα- 59
χοῦντες τοὺς Ἕλληνας οἱ πρότερον εἰς τὴν θάλατταν οὐκ
ἐμβαίνοντες, ἔπλευσαν δ' εἰς τὴν Εὐρώπην, δουλεύουσι
δὲ πόλεις τῶν Ἑλλήνων, τύραννοι δ' ἐγκαθεστᾶσιν, οἱ
μὲν μετὰ τὴν ἡμετέραν συμφοράν, οἱ δὲ μετὰ τὴν νίκην
τῶν βαρβάρων. ὥστ' ἄξιον ἦν ἐπὶ τῷδε τῷ τάφῳ τότε 60
κείρασθαι τῇ Ἑλλάδι καὶ πενθῆσαι τοὺς ἐνθάδε κειμέ-
νους, ὡς συγκαταθαπτομένης τῆς αὑτῶν ἐλευθερίας τῇ
τούτων ἀρετῇ· ὡς δυστυχὴς μὲν ἡ Ἑλλὰς τοιούτων ἀν-
δρῶν ὀρφανὴ γενομένη, εὐτυχὴς δ' ὁ τῆς Ἀσίας βασιλεὺς

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/43 UNIVERSITÄT LEIPZIG